μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινα
μητροκτονοῦντας· κυρία δ' ἥδ' ἡμέρα,
ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι,
[ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν].
ἐλπίδα δὲ δή τιν' ἔχομεν ὥστε μὴ θανεῖν·
ἥκει γὰρ ἐς γῆν Μενέλεως Τροίας ἄπο,
λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτῃ
ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
ἄλαισι πλαγχθείς· τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
παῖδες τεθνᾶσιν, ἐς πέτρων ἔλθοι βολάς,
προύπεμψεν ἐς δῶμ' ἡμέτερον· ἔστιν δ' ἔσω
κλαίουσ' ἀδελφὴν συμφοράν τε δωμάτων.
ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν·
ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
παρθένον ἐμῇ τε μητρὶ παρέδωκεν τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
ταύτῃ γέγηθε κἀπιλήθεται κακῶν.
βλέπω δὲ πᾶσαν εἰς ὁδόν, πότ' ὄψομαι
Μενέλαον ἥκονθ'· ὡς τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς
ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνου πάρα
σωθῶμεν. ἄπορον χρῆμα δυστυχῶν δόμος.

ΕΛΕΝΗ.

ὦ παῖ Κλυταιμήστρας τε κἀγαμέμνονος,
παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου,
πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σὸς

---

47 μήτε] μηδὲ Elmsley 50 χρῆ A | νῶ A, νὼ $A^2$ 51 θήξαντ' L, θήξαντος A, θήξαντας $A^2$, θήξαντας ceteri (θίξαντας G), schol. δυικῶς τὸ θήξαντε | versum, qui iam Hermanno minus probabatur, delevit Herwerden 52 δὲ om. E | δή om. A 53 μενέλαος a | τροίης L 54 ναύπλιον AaG, ναύπλιον mut. in ναυπλίειον L 56 ἅλαισι aS, ἄλαισι $a^3$ 58 ὑφιλίῳ A 59 πετρῶν AS, πέτρῶν a | ἔλθοι B, ἔλθῃ ceteri 60 προὔπεμψ' B | ἔστι BS, fort. ἧσται 64 παρέδωκε aBES 66 γέγηθε factum ex γέγηθεν in E 67 εἰς ὁδὸν] Musgrave, εἴσοδον libri 69 ὠχούμεθ' A | 'κείνου G 70 σωθῶμεν] fort. σωκῶμεν | ἄπορον] γὰρ superscr. g 71 κλυταιμνήστρας libri 73 θ' ὁ σὸς Porson

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG